153. THE QUESTION ABOUT THE RESURRECTION (Matt-Mark Identical)

| Matt 22:23-33 | Mark 12:18-27 |
|---|---|
| Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ | |
| προσῆλθον | Καὶ ἔρχονται |
| αὐτῷ Σαδδουκαῖοι, | Σαδδουκαῖοι πρὸς αὐτόν, |
| λέγοντες | οἵτινες λέγουσιν |
| μὴ εἶναι ἀνάστασιν, | ἀνάστασιν μὴ εἶναι, |
| καὶ ἐπηρώτησαν αὐτὸν | καὶ ἐπηρώτων αὐτὸν |
| 24 λέγοντες, | λέγοντες, |
| Διδάσκαλε, | 19 Διδάσκαλε, |
| Μωϋσῆς εἶπεν, | Μωϋσῆς ἔγραψεν ἡμῖν ὅτι |
| Ἐάν τις ἀποθάνῃ | ἐάν τινος ἀδελφὸς ἀποθάνῃ |
| | καὶ καταλίπῃ γυναῖκα |
| μὴ ἔχων τέκνα, | καὶ μὴ ἀφῇ τέκνον, |
| ἐπιγαμβρεύσει | ἵνα λάβῃ |
| ὁ ἀδελφὸς αὐτοῦ | ὁ ἀδελφὸς αὐτοῦ |
| τὴν γυναῖκα αὐτοῦ | τὴν γυναῖκα |
| καὶ ἀναστήσει σπέρμα | καὶ ἐξαναστήσῃ σπέρμα |
| τῷ ἀδελφῷ αὐτοῦ. | τῷ ἀδελφῷ αὐτοῦ. |
| 25 ἦσαν δὲ παρ ἡμῖν ἑπτὰ ἀδελφοί· | 20 ἑπτὰ ἀδελφοὶ ἦσαν· |
| καὶ ὁ πρῶτος γήμας | καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα, |
| ἐτελεύτησεν, | καὶ ἀποθνῄσκων |
| καὶ μὴ ἔχων σπέρμα ἀφῆκεν | οὐκ ἀφῆκεν σπέρμα· |
| τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· | |
| 26 ὁμοίως καὶ ὁ δεύτερος | 21 καὶ ὁ δεύτερος |
| | ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν |
| | μὴ καταλιπὼν σπέρμα· |
| καὶ ὁ τρίτος, | καὶ ὁ τρίτος ὡσαύτως· |
| ἕως τῶν ἑπτά. | 22 καὶ οἱ ἑπτὰ |
| | οὐκ ἀφῆκαν σπέρμα. |
| 27 ὕστερον δὲ πάντων | ἔσχατον πάντων |
| ἀπέθανεν ἡ γυνή. | καὶ ἡ γυνὴ ἀπέθανεν. |
| 28 ἐν τῇ ἀναστάσει οὖν | 23 ἐν τῇ ἀναστάσει |
| | ὅταν ἀναστῶσιν |
| τίνος τῶν ἑπτὰ ἔσται γυνή | τίνος αὐτῶν ἔσται γυνή |
| πάντες γὰρ ἔσχον αὐτήν. | οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν |
| | γυναῖκα. |
| ·29 ἀποκριθεὶς δὲ | |

| Matt 22:23-33 | Mark 12:18-27 |
|---|---|
| ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, | ·24 ἔφη αὐτοῖς ὁ Ἰησοῦς, |
| Πλανᾶσθε | Οὐ διὰ τοῦτο πλανᾶσθε |
| μὴ εἰδότες τὰς γραφὰς | μὴ εἰδότες τὰς γραφὰς |
| μηδὲ τὴν δύναμιν τοῦ θεοῦ· | μηδὲ τὴν δύναμιν τοῦ θεοῦ |
| 30 ἐν γὰρ τῇ ἀναστάσει | 25 ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, |
| οὔτε γαμοῦσιν | οὔτε γαμοῦσιν |
| οὔτε γαμίζονται, | οὔτε γαμίζονται, |
| ἀλλ ὡς ἄγγελοι | ἀλλ εἰσὶν ὡς ἄγγελοι |
| ἐν τῷ οὐρανῷ εἰσιν. | ἐν τοῖς οὐρανοῖς. |
| 31 περὶ δὲ | 26 περὶ δὲ |
| τῆς ἀναστάσεως τῶν νεκρῶν | τῶν νεκρῶν ὅτι ἐγείρονται |
| οὐκ ἀνέγνωτε | οὐκ ἀνέγνωτε |
| τὸ ῥηθὲν ὑμῖν | ἐν τῇ βίβλῳ Μωϋσέως |
| | ἐπὶ τοῦ βάτου |
| ὑπὸ τοῦ θεοῦ λέγοντος, | πῶς εἶπεν αὐτῷ ὁ θεὸς λέγων, |
| 32 Ἐγώ εἰμι | Ἐγὼ |
| ὁ θεὸς Ἀβραὰμ | ὁ θεὸς Ἀβραὰμ |
| καὶ ὁ θεὸς Ἰσαὰκ | καὶ ὁ θεὸς Ἰσαὰκ |
| καὶ ὁ θεὸς Ἰακώβ | καὶ ὁ θεὸς Ἰακώβ |
| οὐκ ἔστιν ὁ θεὸς νεκρῶν | 27 οὐκ ἔστιν θεὸς νεκρῶν |
| ἀλλὰ ζώντων. | ἀλλὰ ζώντων· |
| | πολὺ πλανᾶσθε. |
| 33 καὶ ἀκούσαντες οἱ ὄχλοι | |
| ἐξεπλήσσοντο | |
| ἐπὶ τῇ διδαχῇ αὐτοῦ. | |

178 matches out of 332 words = 45%